τὰ δὲ χρήματα αὐτοῦ ἀληθινοὶ καθέξουσιν.
18 ἀπέβη δὲ ὁ οἶκος αὐτοῦ ὥσπερ σῆτες καὶ ὥσπερ ἀράχνη.
19 πλούσιος κοιμηθεὶς καὶ οὐ προσθήσει,
※ὀφθαλμοὺς αὐτοῦ διήνοιξεν καὶ οὐκ ἔστιν.↙
20 συνήντησαν αὐτῷ ὥσπερ ὕδωρ αἱ ὀδύναι,
νυκτὶ δὲ ὑφείλατο αὐτὸν γνόφος·
21 ※ἀναλήμψεται αὐτὸν καύσων καὶ ἀπελεύσεται
※καὶ λικμήσει αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.
22 ※καὶ ἐπιρρίψει ἐπ᾽ αὐτὸν καὶ οὐ φείσεται·
※ἐκ χειρὸς αὐτοῦ φυγῇ φεύξεται·
23 ※κροτήσει ἐπ᾽ αὐτοῦ χεῖρας αὐτοῦ
※καὶ συριεῖ αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.↙
28 1 ἔστιν γὰρ ἀργυρίῳ τόπος, ὅθεν γίνεται,
τόπος δὲ χρυσίῳ, ὅθεν διηθεῖται.
2 σίδηρος μὲν γὰρ ἐκ γῆς γίνεται,
χαλκὸς δὲ ἴσα λίθῳ λατομεῖται.
3 τάξιν ἔθετο σκότει,
※καὶ πᾶν πέρας αὐτὸς ἐξακριβάζεται·
※λίθος σκοτία καὶ σκιὰ θανάτου,
4 ※διακοπὴ χειμάρρου ἀπὸ κονίας·↙
οἱ δὲ ἐπιλανθανόμενοι ὁδὸν δικαίαν ἠσθένησαν ἐκ βροτῶν.
5 ※γῆ, ἐξ αὐτῆς ἐξελεύσεται ἄρτος,
※ὑποκάτω αὐτῆς ἐστράφη ὡσεὶ πῦρ.
6 ※τόπος σαπφείρου οἱ λίθοι αὐτῆς,
※καὶ χῶμα, χρυσίον αὐτῷ.
7 ※τρίβος, οὐκ ἔγνω αὐτὴν πετεινόν,
※καὶ οὐ παρέβλεψεν αὐτὴν ὀφθαλμὸς γυπός·
8 ※οὐκ ἐπάτησαν αὐτὴν υἱοὶ ἀλαζόνων,
※οὐ παρῆλθεν ἐπ᾽ αὐτῆς λέων.
9 ※ἐν ἀκροτόμῳ ἐξέτεινεν χεῖρα αὐτοῦ,↙
κατέστρεψεν δὲ ἐκ ῥιζῶν ὄρη·
10 δίνας δὲ ποταμῶν ἔρρηξεν,

18 σητος A† | αραχναι S† | fin.] + ο πλουτος αυτου A; + α συνετηρησε mu. (in *O* sub ※) || 19$^1$ κοιμηθεις και BS*†] και > A†, -θησεται και rel. | ου] + μη S† | 19$^2$ οφθ.] + δε S† || 20$^1$ συνηντ.] κοιμηθεντι συναντησονται A† | υδωρ] σητες S*†: ex 18 | αι > A† | 20$^2$ γνοφος] λαιλαψ S†: ex 21 18 || 21$^1$ αναλημψ.] + δε B†, pr. και S† || 22$^1$ απορειψει A† | επ > BS*A† || 23$^1$ αυτου 1$^0$] -τους S*†, -τον AS$^c$mu. | αυτου 2$^0$] -των BS*
28 1$^1$ αργυριου S*† | 1$^2$ χρυσιου BS*† || 3$^2$ παν] καιρων A† | αυτους A† | 3$^3$ σκοτιας B† || 4$^2$ οδους δικαιοσυνης A†: cf. La *uiam iustitiae* || 5$^2$ ωσει] ως A† || 6$^1$ οι] pr. και A† || 8$^1$] pr. και BS*† | ου κατεπατησαν S† | αυτην] -τον B† || 10$^1$ δ(ε)ινας BSA†] θινας rel.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/319 UNIVERSITÄT LEIPZIG